Σχόλια. Η περὶ ἄκραν κάμπτων.] τὴν καῦτα γὰρ μάλιστα εἰώθασι προσορᾶν καὶ φυλάττειν τὴν ναῦν, ὁπόταν ἄκραν τινὰ καμπτωσι. νεώριον οὖν φησι βλέπεις, ἐν ᾧ νεωλκήσεις οἶκον δὲ νεὼς, ὁ καλοῦσιν ἀγκῶνα. ἢ μᾶλλον ὑποκρύφους τόπους λέγει τὸν ἄνεμον, ἔνθα ὑπὸ σκέπῃ εἰσιν. Ασκωμ' ἔχεις.] ὡς τοῦ δέρματος ἐξηρτημένου τοῦ μύσακος αὐτῷ καὶ τῆς ῥινὸς, καὶ οὕτω γελοίως ἐσκευασμένου. ἄσκωμα δὲ οἰμᾶς ὁ σωιέχων τὴν κώπην, πρὸς τὴν σκαλμὴν. ἄλλως. ὁ τῆς κώπης ὀφθαλμὸς, ἔχει τὸ ἄσκωμα. κώπης δὲ ὀφθαλμὸς τὸ πῆμα. Ασιατονασάτρα.] παίζει ὡς τῇ Περσικῇ δυσλέκτῳ χρώμενος. Πέμψειν βασιλέα.] τοῦτό φησιν ὁ κήρυξ ἢ οἱ πρέσβεις. Χρυσοχαυνόφωκτοι.] ἀντὶ τοῦ ἔκλυτοι. Ιαοναῦ δὲ ἀντὶ τοῦ Αθηναῖοι, Ιωνες γὰρ οἱ Αθηναῖοι ἀπὸ Ιωνος τοῦ Ξούθου. ὡς βάρβαρος δὲ τὸ αὖ ἔφη Δωρικὸν ἀντὶ Ελληνιζομένου.

Κη. Οπ χαυνοσφῆκτοις τοῖς Ιάονας λέγει,
Εἰ προσδοκῶσι χρυσίον ἐκ τῆς βαρβάρων.
Δι. Οὐκ, ἀλλ' ἀχαιάς ὁδί γε χρυσίν λέγει.
Κη. Ποίας ἀχαιάς, σὺ μὴν ἀλαζὼν εἶ μέγας.
Δι. Αλλ' ἄπιθ', ἐγὼ δὲ βασανιῶ τοῦτον μόνος.
Αγε δὴ σὺ φράζον ἐμοὶ σαφῶς πρὸς τουτονί,
Ινα μή σε βάψω βάμμα σαρδινιακόν.
Βασιλεὺς ὁ μέγας ἡμῖν ἀποπέμψει χρυσίον;
Ανανεύει. ἄλλως ἄρ' ἐξαπατώμεθ' ὑπὸ τῆς πρέσβεων;
Επινεύει, Ελληνικόν γ' ἐπένευσαν ἄνδρες οὗτοι.
Οὐκ ἔστ' ὅπως οὐκ εἰσὶν ἐνθένδ' αὐτόθεν,
Καὶ τῶν μὴν εὐνούχοιν τὸν ἕτερον τουτονί,
Εγ' ᾠδ' ὅς ἐστι. Κλεισθένης ὁ Σιβυρτίου.
Ω θερμόβουλον πρωκτὸν ἐξυρημένε,
Τοιόνδε δ' ὦ πίθηκε τὸν πώγων' ἔχων
Εὐνοῦχος ἡμῖν ἦλθες ἐσκευασμένος;
Οὗ δ' ὄ, τίς ποτ' ἐστὶν. ὁ δήπου Στράτων;
Κη. Σίγα, κάθιζε,
Τὸν Βασιλέως ὀφθαλμὸν ἡ βουλὴ καλεῖ.
Εἰς τὸ Πρυτανεῖον. Δι. ταῦτα δῆτ' οὐκ ἀγχόνη;
Κἄπειτ' ἐγὼ δῆτ' ἐνθαδὶ στρατεύομαι,
Τοὺς ὄ ξενίζειν, οὐδέποτέ γ' ἰσχ' ἡ θύρα.
Αλλ' ἐργάζομαί τι δεινὸν ἔργον καὶ μέγα,
Αλλ' Αμφιθεός μοι πού' στιν. Αμ. οὗτοσὶ πάρα.

Σχόλια. Οτι χαυνοφώκτους.] ὅτι πάντας τοὺς Ελλήνας Ιάονας οἱ βάρβαροι ἐκάλουν. προείρηται καὶ Ομηρος. Ιάονας ἑλκεχίτωνας. Ο ὄ αυ, ἀντὶ τοῦ ου βαρβαρίζων ἔφη. Οὐκ. ἀλλ' ἀχαιάς.] ἀχαία μέτρον ὄνομα περσικόν. ὥσπερ ἡ ἀρτάβη παρ' Αἰγυπτίοις. ἐχώρει δὲ μεδίμνους ἀττικοὺς μέ. ὡς μαρτυρεῖ Αριστοτέλης. ἄλλοι δέ φασιν, ὅτι κίστη ἐστὶν εἰς ἣν κατετίθεντο τοὺς ὀβολοὺς τιμῶν, οἱ ὀβολοὶ τὰς θεωρίας ἐστελλόμενοι. Αγε δὴ σὺ φράζον.] ἀντὶ τοῦ πρὸς ἐμαυτόν. ἀττικὸν ὄ τοῦτο χρῆμα. ὡς μὴ σωιέντος ὄ αὐτὸ δείκνυσι τὸ δακτύλῳ. ἐμοὶ λέγων καὶ τουτονί. Βάμμα σαρδινιακόν] ἀντὶ τοῦ ἐρυθρὸν φοινικοῦν. Σαρδὰ γὰρ νῆσός ἐστι τοῦ ἑπτὰ, σταδίους ἑξήκοντα Κύρνου διέχουσα. ἐν ταύτῃ δὲ γίνονται πορφύραι διάφοροι καὶ ὀξύταται. ἢ ὅτι εἰς τὴν Σαρδὼ τὴν Λυδίας πυρρὰ βάμματα γίνεται. βούλεται δὲ δηλοῦν ὅτι εἰ μὴ εἴποις τἀληθὲς, μαστίζων σε ἐρυθρὸν ποιήσω τοῖς αἵμασι. Ο ὄ ἀνανεύει ὁ ὀπινεύει παρεπιγραφὴ ὑπὲρ τοῦ φρὲς γλυκεῖς ὅτι ἀρνούμενος μὴν ἀνένευσεν. ὁμολογῶν δὲ κατένευσεν.

Bisetus. Σαρδιανικόν.] Εἰ ἡ γραφὴ καλῶς ἔχει, ὁ τῆς δὲ τῆς παλαιῶν σχολίων συγγραφεὺς ἐνταῦθα ἥμαρτεν. ὁ γὰρ ἀπὸ τοῦ Σαρδὼ, Σαρδιανικὸς ὠνόμαζεν, ἀλλὰ Σαρδώνιος, ὅθεν παροιμία, Σαρδώνιος γέλως. Σάρδις δὲ καὶ τὸ Στέφανον περὶ πόλεων, πόλις ἐστὶ Λυδίας. ὁ πολίτης Σαρδιανὸς, ὁ Σαρδιανή. ὁ κτητικὸν Σαρδιανικὸς, ή, όν. ὅθεν ὁ τὸ Σαρδιανικὸν βάμμα. ταύτῃ δὲ τῇ λέξει ὁ ἐν τῇ Εἰρήνῃ Αριστοφάνης ἐχρήσατο λέγων,

PR. Iaones dicit lati esse podicis,
Si aurum expectent à barbaris. DI. non arbitror:
Quia auri modios nominat. PR. quales, cedò,
Modios? nam magnus tu quidem ostentator es.
DI. Abi tu, ego solus hunc examinabo. Agè
Dic tu mihi perspicuè soli, huic, inquam, mihi:
Ne fors te tingam tinctura Sarainiaca:
Mittétne nobis aurum Rex ille inclytus?
Renuit. Numquid legati nobis verba dant?
Annuit, & hi Græco more annuunt viri.
Non est, vt ex nobis non aliqui sint ibi.
Et certè ex his duobus Eunuchis ego
Noui alterum. Nam hic Clisthenes Sibyrtij est.
O tu, qui anum reperisti calidi consili:
Quid? iúne simie cum hac barba nobis venis
Subornatus, qui spado sis? hic autem quis est,
Annon Strato? PR. tace, sede.
Regis oculum, senatus in Prytaneum hodie
Vocat. DI. annon hæc sunt, quæ me ad suspendium adigant?
Egóne deinceps hìc militem: hos verò hospites
Nunquam arceant nostræ fores! agè facinus
Ego aggredior magnum, graue & memorabile. (desine.
Sed vbi mihi est Amphitheus? AM. præsto est,

Ἢν ἐκεῖνος φησὶν εἶ βάμμα Σαρδιανικόν.

Σχόλια. Αλλως ἄρ' ἐξαπατώμεθα] ἠλιθίως καὶ ματαίως. καὶ Ομηρος, Σπερχεῖ ἄλλως οἱ γε πατὴρ ἠρήσατο Πηλεύς. οἱ δὲ Ατθικοὶ εἰώθασι προσιθέναι τὴν τὴν, λέγοντες τὴν ἄλλως. Ελληνικόν γ' ἐπένευσαν.] τοῦτο εἶπεν, ὡς διαφέροντος τοῦ νεύματος τοῦ ἑλληνικοῦ. ἐπένευσε δὲ μὴ τὸ βεβαίωσιν τὴ κεφαλῇ. χρὴ μὴν τοι εἰδέναι ὅτι ἕνα καλεῖς μικρῷ πρότερον, νῦν ὡς περὶ δυεῖν τὸν λόγον ποιεῖται, δῆλον ὅτι δι' ἑνὸς τοῦ ἐνδοξοτέρου τοὺς δύο καλεῖ. αὐτόθεν δὲ ἀπὸ τοῦ Ατθικῆς, ἐντεῦθεν. Εγ' ᾠδ' ὅς ἐστι.] τὸ ἐγ' ᾠδα. ἀντὶ τοῦ ἐγὼ οἶδα. ὅτι δὲ ὁ Κλεισθένης ἀεὶ τὸ γήρειον ἐξυρᾶτο πρὸς τὸ ἀεὶ φαίνεσθαι νέος. διὰ τοῦτο εὐνοῦχῳ αὐτὸν εἰκάζει. Ω θερμόβουλον.] παρῳδία χρῆται. ἔστι γὰρ ἐν τῇ Μηδείᾳ Εὐριπίδου, ὦ θερμόβουλον ἀπλάγχνον. ὅτι δὲ ἐν σκώπτων Εὐριπίδου, προσέθηκε πρωκτὸν παρὰ προσδοκίαν. Τοιόνδ' ὦ πίθηκε.] καὶ τοῦτο παρῳδηκεν ἐκ τοῦ Αρχιλόχου ἐπῶν. τοιάνδε δ' ὦ πίθηκε τὴν πυγὴν ἔχων. Οὗ δήπου Στράτων.] ὁ ὅτι κωμῳδεῖται ὡς λωβώμενος τὸ γήρειον καὶ λειαίνων τὸ σῶμα. ὡς Κλεισθένης. ὡς φησιν αὐτὸς Αριστοφάνης ἐν Ολκάσι. παῖδες ἀγήρειοι Στράτων. Εἰς τὸ Πρυτανεῖον.] ὥστε ἐκεῖ εἶ τὰς πρέσβεις παρὰ Αθηναίοις. Ταῦτα δῆτ' οὐκ ἀγχόνη.] ἡ διαφορὰ τοῦ ὀνόματος ἐν τῷ τόνῳ. ὀξυτόνως μὴν γὰρ, τὸ εἶδος τοῦ πάθους. βαρυτόνως δὲ τὸ χοινίον καὶ ὁ βρόχος.

Bisetus. Τούτων δὲ ὁ νοῦς ἐστι. οὐκ ἄρα ταῦτα βρόχον ἡμῖν ἀπειλεῖ, εἰ μὴ σιγῶμεν, καὶ εὐτακτοῦμεν;

Σχόλια